ἐπὶ τέκνα καὶ ἐπὶ τέκνα τέκνων ἐπὶ τρίτην καὶ τετάρτην γενεάν.
8 9 [8]καὶ σπεύσας Μωυσῆς κύψας ἐπὶ τὴν γῆν προσεκύνησεν [9]καὶ εἶ-
πεν Εἰ εὕρηκα χάριν ἐνώπιόν σου, συμπορευθήτω ὁ κύριός μου
μεθ᾽ ἡμῶν· ὁ λαὸς γὰρ σκληροτράχηλός ἐστιν, καὶ ἀφελεῖς σὺ τὰς
10 ἁμαρτίας ἡμῶν καὶ τὰς ἀνομίας ἡμῶν, καὶ ἐσόμεθα σοί. [10]καὶ εἶ-
πεν κύριος πρὸς Μωυσῆν Ἰδοὺ ἐγὼ τίθημί σοι διαθήκην· ἐνώπιον
παντὸς τοῦ λαοῦ σου ποιήσω ἔνδοξα, ἃ οὐ γέγονεν ἐν πάσῃ τῇ
γῇ καὶ ἐν παντὶ ἔθνει, καὶ ὄψεται πᾶς ὁ λαός, ἐν οἷς εἶ σύ, τὰ
11 ἔργα κυρίου ὅτι θαυμαστά ἐστιν ἃ ἐγὼ ποιήσω σοι. [11]πρόσεχε
σὺ πάντα, ὅσα ἐγὼ ἐντέλλομαί σοι. ἰδοὺ ἐγὼ ἐκβάλλω πρὸ προσ-
ώπου ὑμῶν τὸν Αμορραῖον καὶ Χαναναῖον καὶ Χετταῖον καὶ Φερε-
12 ζαῖον καὶ Ευαῖον καὶ Γεργεσαῖον καὶ Ιεβουσαῖον· [12]πρόσεχε σε-
αυτῷ, μήποτε θῇς διαθήκην τοῖς ἐγκαθημένοις ἐπὶ τῆς γῆς, εἰς ἣν
13 εἰσπορεύῃ εἰς αὐτήν, μή σοι γένηται πρόσκομμα ἐν ὑμῖν. [13]τοὺς
βωμοὺς αὐτῶν καθελεῖτε καὶ τὰς στήλας αὐτῶν συντρίψετε καὶ
τὰ ἄλση αὐτῶν ἐκκόψετε καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατα-
14 καύσετε ἐν πυρί. [14]οὐ γὰρ μὴ προσκυνήσητε θεῷ ἑτέρῳ· ὁ γὰρ
15 κύριος ὁ θεὸς ζηλωτὸν ὄνομα, θεὸς ζηλωτής ἐστιν. [15]μήποτε θῇς
διαθήκην τοῖς ἐγκαθημένοις πρὸς ἀλλοφύλους ἐπὶ τῆς γῆς, καὶ
ἐκπορνεύσωσιν ὀπίσω τῶν θεῶν αὐτῶν καὶ θύσωσι τοῖς θεοῖς
16 αὐτῶν καὶ καλέσωσίν σε καὶ φάγῃς τῶν θυμάτων αὐτῶν, [16]καὶ
λάβῃς τῶν θυγατέρων αὐτῶν τοῖς υἱοῖς σου καὶ τῶν θυγατέρων
σου δῷς τοῖς υἱοῖς αὐτῶν, καὶ ἐκπορνεύσωσιν αἱ θυγατέρες σου
ὀπίσω τῶν θεῶν αὐτῶν καὶ ἐκπορνεύσωσιν τοὺς υἱούς σου ὀπί-
17 σω τῶν θεῶν αὐτῶν. [17]καὶ θεοὺς χωνευτοὺς οὐ ποιήσεις σεαυτῷ.
18 [18]καὶ τὴν ἑορτὴν τῶν ἀζύμων φυλάξῃ· ἑπτὰ ἡμέρας φάγῃ ἄζυμα,
καθάπερ ἐντέταλμαί σοι, εἰς τὸν καιρὸν ἐν μηνὶ τῶν νέων· ἐν γὰρ
19 μηνὶ τῶν νέων ἐξῆλθες ἐξ Αἰγύπτου. [19]πᾶν διανοῖγον μήτραν ἐμοί,
20 τὰ ἀρσενικά, πρωτότοκον μόσχου καὶ πρωτότοκον προβάτου. [20]καὶ
πρωτότοκον ὑποζυγίου λυτρώσῃ προβάτῳ· ἐὰν δὲ μὴ λυτρώσῃ
αὐτό, τιμὴν δώσεις. πᾶν πρωτότοκον τῶν υἱῶν σου λυτρώσῃ. οὐκ
21 ὀφθήσῃ ἐνώπιόν μου κενός. [21]ἓξ ἡμέρας ἐργᾷ, τῇ δὲ ἑβδόμῃ κατα-
22 παύσεις· τῷ σπόρῳ καὶ τῷ ἀμήτῳ καταπαύσεις. [22]καὶ ἑορτὴν
ἑβδομάδων ποιήσεις μοι ἀρχὴν θερισμοῦ πυρῶν καὶ ἑορτὴν συνα-

9 ευρον A† | ο κυρ. μου] κυριος A | ημων paenult. > A || 10 σοι $1^0$] > A†, in *O* sub ÷ | σοι ult. > A || 11 εγω $2^0$ > B | προ] απο A | υμων] σου A† | τον repetit A ante omnia nomina propria | χεττ. .. φερεζ.] tr. B || 12 θης] διαθη A: item in 15 | μη σοι] μηποτε A (in *O* sub ※) || 13 -ψετε $1^0$ ⌒ $2^0$ A† | εν B†] > A || 14 θεω ετερω] θεοις -ροις B† || 15 προς αλλοφ. > A* | θυματων] θυσιων A || 16 δως] δωσεις A | εκπορνευσουσιν ($1^0$) A | αυτων $3^0$ ⌒ $4^0$ A | τους υιους] οι υιοι B† || 18 μηνι ult.] pr. τω A || 19 πρωτοτ. $1^0$] pr. παν B† || 20 αυτο > A | δωσεις] + αυτου A || 21 δε] + ημερα τη A | bis καταπαυσις B || 22 πυρου B | εορτην $2^0$] αρχην B